δεύτερον τοῦ δευτέρου λόχου, ἐπιστάτην τοῦ πρώτου λόχου· τὸν δὲ δεύτερον
τοῦ δευτέρου λόχου, τέταρτον, καὶ καθεξῆς τοὺς λοιπούς. δεῖ δὲ φείδεσθαι
διπλασιάζειν ἐγγιζόντων τῶν πολεμίων. ἐπεὶ δὴ ταραχῆς φαντα-
σίαν τοῦ ἡμετέρου στρατεύματος παρέχει τοῖς πολεμίοις. ὅταν δὲ ἀπ-
αιτῇ ἐξ ἀναγκαίου διπλασιασμοῦ, χρὴ ἐπεκτείνειν τὴν φάλαγγα διὰ
τῶν ψιλῶν καὶ τῶν ἱππέων. οὕτω γὰρ ἀμετακινήτου τῆς φαλαγγου-
μενούσης, ἰδόντες οἱ πολέμιοι τὸν διπλασιασμόν, ἐκπλαγήσονται.
χρεία δὲ τοῦ διπλασιασμοῦ ἐστιν, ὅταν ἢ ὑπερκεράσαι ἢ ὑπερφα-
λαγγῆσαι θέλωμεν τὴν τῶν πολεμίων φάλαγγα. ἢ χάριν τοῦ
ὑπερκερασθῆναι ἡμᾶς ἢ ὑπερφαλαγγισθῆναι ὑπ' αὐτῶν. ἐστὶ μὲν
οὖν φάλαγξ, ἡ ἔχουσα τὸ μέτωπον πλεῖον τοῦ βάθους. ὀρθία δέ, ὅταν φάλαγξ. ὀρθία.
ἐπὶ κέρως πορεύωνται. ὥστε εἶναι βάθος πολλαπλάσιον τοῦ μετώ-
που. καθόλου δὲ παραμήκεις ὀνομάζονται φάλαγγες, ὅσαι τὸ με-
τωπον τοῦ βάθους ἔχουσι πλέον τοῦ μήκους. λοξὴ δὲ φάλαγξ καλεῖ-
ται, ἥτις ἐστὶν ἐν τῶν κεράτων αὐτῆς, ἤγουν τὸ δεξιὸν μέρος ἢ τὸ λοξή.
ἀριστερὸν οἷον ἂν ὁ στρατηγὸς βουληθῇ. προσεγγίζον ἔχει τοῖς πο-
λεμίοις καὶ αὐτῷ μόνῳ ἀγωνιζομένη. τὸ δὲ ἕτερον, ὑποστέλλουσα ὀ-
πίσθεν κατὰ τὴν τοῦ φέροντος δοκιμασίαν. παρεκβολὴ δὲ ἐστιν. παρεκβολή.
ὅταν παρατεταγμένων ὄντων ἰδίως τῶν συνταγμάτων τῆς φάλαγ-
γος ὥστε διὰ μέσον εἶναι ἀποτομὰς καὶ διαστήματα, παρεκβάλλο-
μεν. περὶ τῶν τοιούτων ἀποτομῶν κατὰ μέτωπον ἐπ' εὐθείας, ζυγὸν
ἕνα ἐκ τῶν ὑποτεταγμένων τὸ βάθος τῆς φάλαγγος, ἢ εἰς τὸ δύο
προστεθεῖσα παράταξις κατ' εὐθεῖαν τοῦ μετώπου τῆς φάλαγγος. ἔν-
ταξις δέ ἐστιν, ὅταν τοὺς ψιλοὺς εἰς τὰ διαστήματα τῶν λόχων τῶν ὁ- ἔνταξις.
πλιτῶν, ἐντάξωμεν ἄνδρα παρ' ἄνδρα. ὑπόταξις δέ ἐστιν ὅταν τοὺς ὑπόταξις.
ψιλοὺς ὄπισθεν τῶν ἄκρων τῆς φάλαγγος ὑποτάξωμεν. πρόταξις πρόταξις.
δέ ἐστιν, ὅταν προτάξωμεν αὐτοὺς ἔμπροσθεν τῶν κεράτων πυρ-
γοειδῶς. ἐπίταξις δὲ ὅταν ὄπισθεν τῶν οὐραγῶν, τοὺς ψιλοὺς τάττομεν:- ἐπίταξις.
ἐστὶ μέν τις ἐπαγωγὴ ἐν ταῖς πορείαις καλουμένη. καὶ ἄλλη παραγωγή. ἐπαγωγή.
καὶ ἐπαγωγὴ μέν, ὅταν κατὰ τάγματος πορευομένη τάγματος οὐρα-
γός. παραγωγὴ δέ ἐστιν, ὅταν πορευομένη ἡ φάλαγξ. τοὺς ἡγεμό- παραγωγή.
νας αὐτῆς ἢ τοὺς λοχαγοὺς ἢ ἐκ τῶν δεξιῶν μερῶν ἔχῃ, ἢ ἐκ τῶν
ἀριστερῶν. καὶ εἰ μὲν ἐκ τῶν δεξιῶν μερῶν ἔχει, καλεῖται δεξιὰ πα- δεξιά.
ραγωγή. ἐν ὁποίῳ δὲ σχήματι τῶν εἰρημένων τάξεων περιπατεῖ ἡ
φάλαγξ, εἴτε κατὰ παραγωγήν. ἢ ἐν μονοπλεύρῳ τάγματι εὑρε-
θήσεται. ἔχουσα τοὺς ἡγεμόνας ἤγουν τοὺς λοχαγοὺς ἐν μιᾷ πλευρᾷ
ἢ ἐν δυσπλεύρῳ. ἢ ἐν τετραπλεύρῳ. καὶ εἰ μὲν ἐξ ἑνὸς τῶν μερῶν
ὑποπίπτει τοῖς πολεμίοις ἐκεῖθεν ἔχουσα τοὺς ἡγεμόνας. πορεύεται
ἐν μονοπλεύρῳ σχήματι. εἰ δὲ ἐκ τῶν δύο πλευρῶν τούτοις ὑποπίπτει

http://digital.slub-dresden.de/ppn346357527/170